ἀπὸ φίλων· ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται· οὕτω καὶ μοναχὸς χωριζόμενος ἀπὸ μονῆς, αἰτιᾶται ἡγούμενον καὶ ἀδελφούς· γέγραπται· Ἔστιν ὁδὸς, ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις, τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου. καὶ πάλιν λέγει, τῶν αὐτοῦ ὁδῶν πλησθήσεται θρασυκάρδιος, ἀπὸ δὲ τῶν νοημάτων αὐτοῦ ἀνὴρ καθαρός. Ἀλλήλους παρακαλέσωμεν, ἀγαπητοί· ἀλλήλοις δουλεύσωμεν· ἀλλήλους νουθετήσωμεν εἰς τὸν φόβον τοῦ Κυρίου, ἄχρις οὗ καταντήσωμεν εἰς τὸν τῆς ζωῆς λιμένα. Γαστρίμαργος μοναχὸς πολλὰ μεριμνήσει, ὁ δὲ ἐγκρατὴς ἔοικε δορκάδι ἐν ἀγρῷ. Ὥσπερ ἰχθύσιν ὕδωρ, οὕτω μοναχῷ ἡσυχία ἐν ταπεινοφροσύνῃ καὶ ἀγάπῃ. Ἐπισιτισμὸς μοναχῷ ἐν ὁδῷ, εὐλάβεια ἐν φόβῳ Θεοῦ. Φόβος δὲ Κυρίου χρυσίον δόκιμον, καὶ ὁ κτησάμενος αὐτὸν οὐκ ἐγκαταλειφθήσεται. Μοναχὲ, ἐπιχειροῦσιν οἱ ἐχθροὶ συνέχειν σου τὸν λογισμὸν ἐν τῷ σε ἀκούειν περὶ τῶν κατὰ σάρκα γονέων· ἀλλ᾽ ὑπερπερισσεύσει σοι ἡ χαρὰ καὶ ἡ παράκλησις ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐὰν ὑπομείνῃς εἰς τέλος δουλεύων τῷ Κυρίῳ. Ὁ βουλόμενος εἰρηνικῶς ζῆν ἐν παντὶ τόπῳ, μὴ ἐπιζητείτω τὴν ἰδίαν ἀνάπαυσιν, ἀλλὰ τὴν τοῦ ἑτέρου ἐν Κυρίῳ, καὶ εὑρήσει ἀνάπαυσιν· ὁ δὲ ἐρεθιστὴς καὶ κακόφρων οὐχ ἡσυχάσει πώποτε. Πρὸ τοῦ καταφρονήσει τὶς τοῦ φόβου τοῦ Θεοῦ, οὐχ ἁμαρτήσει πώποτε. Θέλεις μὴ ἁμαρτάνειν, φύλασσε τὸν φόβον τοῦ Θεοῦ. Νόμιζε δὲ τὴν ἁμαρτίαν, ὡς ὄρη τὰ ὑψηλὰ, ἢ ὡς πέλαγος θαλάσσης πλῆρες κλυδώνων, ἢ ὡς φλόγα πυρὸς κατεσθίουσαν τοὺς ἐμπεσόντας εἰς αὐτήν. Ἡ γὰρ σπουδὴ τοῦ ἐχθροῦ σμικρύνει αὐτὴν ἐν ὀφθαλμοῖς σου, ἕως οὗ περιπέσῃς ἐν αὐτῇ. Μὴ θέλε ἁμαρτάνειν, τὸν δὲ σὸν πατέρα μὴ προφασίζου. Σαμουὴλ γὰρ τῷ Ἡλεὶ παρέμεινε, καὶ Γιεζὶ τῷ Ἐλισσαίῳ. Ποιμένα σε κατέστησε, μὴ εἰσάγαγε εἰς τὸ ποίμνιον αὐτοῦ λύκους διαφθείροντας, ἵνα μὴ ἔρημον ἀποκαταστήσωσί σου τὴν ποίμνην, καὶ ἐλθὼν ὁ Ἀρχιποίμην, οὐκ ἀρέσει αὐτῷ. Ἀποσόβει ἐκ τῶν προβάτων πᾶν πρᾶγμα ἐναντιούμενον αὐτοῖς, καὶ οὐ μὴ κληθῇς ἐργάτης δόλιος. Ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος ἔντιμος, καὶ οἱ φοβούμενοι Κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ. Πρὸ τοῦ ἐνάρξαι εἰς πρᾶγμα, νόει τὴν ἔκβασιν αὐτοῦ· καὶ πρὸ μάχης προφασίζου τὸν Σατανᾶν. Γέγραπται γὰρ, ὅτι ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. Οὐ χαλεπὸν μέν ἐστι τὸ συμβαίνειν, ἀλλὰ δεινὸν καὶ χαλεπὸν τὸ ἐμμένειν τῇ αὐτῇ πονηρίᾳ. Ἐὰν συμβῇ μάχη μεταξὺ δύο ἀδελφῶν, ὁ πρῶτος μετανοῶν λήψεται τὸν στέφανον τῆς νίκης. στεφανοῦται δὲ καὶ ὁ δεύτερος, ἐὰν μὴ ἀποβάληται τὴν μετάνοιαν, ἀλλὰ προθύμως ποιήσῃ τὰ πρὸς εἰρήνην.

A autem tempore erit ignominiosus. Sic quoque monachus volens a mansione sua segregari, Præfectum & fratres accusat ac culpat. Scriptum legitur: *Est via quæ videtur apud homines recta esse; novissima autem ejus vadunt in fundum inferni.* (Proverb. 14. 17.) Et rursum: *Suis itineribus saturabitur temerarius: & de cogitationibus suis vir bonus.* Nos invicem consolemur, carissimi: invicem serviamus: invicem nos admoneamus & reprehendamus in timore Domini, donec in B portu vitæ nobis mutuo occurramus. Monachus ventri deditus, in multis erit sollicitus: at qui temperans est, capreæ in agro similis redditur. Sicut piscibus aqua, ita monacho vita quieta in humilitate & caritate. Commeatus monacho in via, pietas & religio in timore Dei. Timor autem Domini aurum probatum cujus possessor nunquam deseretur. Conantur inimici detinere cogitationem tuam, monache, dum te de parentibus tuis carnalibus C quid audire contingit: superabundabit autem tibi gaudium & consolatio in regno cœlorum, si ad finem usque perseveraveris in ministerio Domini. Qui pacifice vivere cupit in omni loco, non propriam quietem requirat, sed eam quæ alterius est in Domino, & requiem inveniet: at qui irritator est & malignus, nunquam quiescet. Non ante peccabit quispiam, quam Dei timorem contemserit. Cupis non pec- D care? Timorem Dei serva. Puta autem peccatum esse instar montium sublimium, aut pelagi maris fluctibus ac tempestatibus pleni, aut tamquam flammam ignis, quæ incidentes in ipsam comburit atque absumit. Solertia quippe inimici imminuit peccatum in oculis tuis, donec in illud incideris. Noli peccare, & patrem tuum ne causeris atque prætexas: nam Samuel apud Heli permansit, (1. Reg. 2.) & Giezi apud Elisæum. (4. Reg. 5.) Pastorem te constitue- E runt? cave, in ovile tuum lupos introduxeris corrumpentes ac discerpentes, ne desolatum tuum ovile reddant; cumque princeps pastorum venerit, non placebit ei. Repelle ab ovibus tuis quamcumque rem ipsis contrariam ac noxiam, & nequaquam voceris operarius fraudulentus. In medio fratrum, Præfectus honorabilis: & qui timent Dominum, in oculis ejus. Priusquam rem aliquam aggrediaris, exitum ejus cognoscas: & ante F pugnam, prætexe satanam. Scriptum est enim: quia omnis qui natus est ex Deo, servat seipsum, (1. Joan. 5.) & malignus non tangit eum. Non quidem grave ac difficile est incidere: sed grave & periculosum est in eodem peccato perseverare. Si contentio ac pugna inter duos fratres acciderit, qui prior eorum resipuerit, coronam victoriæ accipiet: coronabitur autem & secundus, si pœnitentiam non respuerit, sed promte quæ pacis sunt, curaverit.